Δ ἀλλ᾿ οὐδ᾿ ἂν εἰπεῖν τὸ μέγεθος δύναιτό τις. καὶ ᾿Αβελτηρία, ἡ
Σ ἀφροσύνη. ἢ ἀνοησία. Μένανδρος· εἰς τοῦτο δὲ ἀβελτηρίας
Ε ἤλασεν αὐτοῖς ὁ νοῦς, ὥστε θάτερον μέρος τὴν κατὰ θατέρου μᾶλλον
ἢ τὴν κατὰ τῶν πολεμίων εὔχεσθαι νίκην.

Suid. 33 ᾿Αβελτερώτατοι· ᾿Αριστοφάνης· τέως δ᾿ ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι Μελιτίδαι κάθηνται.

Δ 34 ᾿Αβέρβηλος: ὁ ἀκατάστατος. λέγεται δὲ καὶ ᾿Αβύρβηλον,
Σ ἀναίσχυντον, ἀπεχθές.

Δ 35 ᾿Αβεσαλώμ: ὄνομα κύριον. ὃς τοῦ ἰδίου πατρὸς Δαβὶδ κατεξανέστη καὶ ἀνῃρέθη ὑπ᾿ αὐτοῦ ἐν τῷ πολέμῳ.

Δ 36 ᾿Αβειρών: ὄνομα κύριον.

Δ 37 ᾿Αβηρωθαῖος: ὄνομα κύριον.

Δ 38 ᾿Αβής: ὁ ἀσύνετος.

Δ 39 ᾿Αβιά· ὄνομα κύριον.

Δ 40 ᾿Αβιαδηνός: ἀπὸ πόλεως ᾿Αβιαδηνῆς.

Δ 41 ᾿Αβιάθαρ: ὄνομα κύριον.

42 ᾿Αβίας· υἱὸς ῾Ροβοάμ, τοῦ υἱοῦ Σολομῶντος, ὃς ἐπολέμησεν ῾Ιεροβοὰμ τῷ δούλῳ Σολομῶντος καὶ ἐν μιᾷ ἡμέρᾳ ἀνεῖλεν ἄνδρας δυνατοὺς ͵αφ΄.

Δ 43 ᾿Αβίγας: ποταμός.

Δ 44 ᾿Αβιέζερ: ὄνομα κύριον.

Δ 45 ᾿Αβιμέλεχ: ὄνομα κύριον. υἱὸς Γεδεών. οὗτος ἐπάταξε τοὺς
Ε ἀδελφοὺς αὐτοῦ ἐκ τῶν ἐλευθέρων ἄνδρας ἑβδομήκοντα ἐπὶ λίθον ἕνα, ἐξ ὧν οὐκ ἀπελείφθη πλὴν ᾿Ιωάθαμ τοῦ νεωτέρου διαδράντος. ὃς καὶ παραπορευομένου τοῦ ῾Αβιμέλεχ μετὰ τοῦ λαοῦ ἀνῆλθεν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἐπάρας τὴν φωνὴν αὐτοῦ ἔφη πρὸς αὐτοὺς παραβολὴν τοιαύτην. ἀκούσατέ μου, ἄνδρες Σικίμων, καὶ ἀκούσει ὑμῶν ὁ θεός. πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ χρίσαι βασιλέα ἐφ᾿ ἑαυτῶν. καὶ εἶπαν τῇ ἐλαίᾳ· βασίλευσον ἐφ᾿ ἡμῶν. καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ἐν ἐμοὶ ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα τῇ